118 Καθόρμια: περιθέματα. Σ
119 Καθοσιούμενος: ἀντὶ τοῦ πληροφορῶν. ὁ δὲ ἀγανακτήσας ἐπὶ E
τῇ τῆς ἀρχῆς παραλύσει τῷ τε Μαξιμίνῳ καθοσιούμενος, ἀθροίσας
στρατὸν ἧκεν ἐπὶ τὴν Καρχηδόνα.
120 Καθοσιωθεῖσαι: ἀνατεθεῖσαι. ὑπὲρ δὲ τοῦ μηδὲν παθεῖν αὐτὰς E
κακὸν τοὺς θεοὺς ἐγγυητὰς ἔσεσθαι, οἷς καθοσιωθεῖσαι τὰς ἱκεσίας
ποιήσονται πρὸς τὸν ὕπατον.
121 Καθοσίωσις: δικαίωσις. κατάκρισις. Σ Δ
122 Καθοσίωσις: παρὰ τὸ κατὰ τοῦ ὁσίου γίνεσθαι, ἤτοι τοῦ βασι-
λέως. ὅτι ἐπὶ Θεοδοσίου τοῦ βασιλέως Ῥωμαίων Σύμμαχος ἀπὸ E
ὑπάτων εἰς τὸν τύραννον Μάξιμον βασιλικὸν λόγον διεξῆλθε καὶ
δεδιὼς τὸ τῆς καθοσιώσεως ἔγκλημα τοῖς τῶν ἐκκλησιῶν σηκοῖς
προσκαταφεύγει· ὃν ὁ Θεοδόσιος πάσης φιλανθρωπίας ἠξίωσε. καὶ
αὖθις περὶ τοῦ Χριστοῦ· τοῖς γὰρ νόμοις αὐτὸν παρεδώκαμεν, καὶ εἰς E
καθοσίωσιν οὐχ ἡμάρτομεν.
123 Καθόσον: ἐπίρρημα.
124 Καθωσιωμένος: ἀνακείμενος, ἐγγεγραμμένος. Σ
125 Καθωσιωμένος: ἔννομος, κόσμιος, τίμιος. Οὐράνιος ὁ
καθωσιωμένος Μαγιστριανὸς εὐσεβῆ γράμματα ἀποδέδωκε τῷ ὁσιωτάτῳ
ἀρχιεπισκόπῳ Καλανδίωνι. καὶ Καθωσιῶσθαι. Δ
126 Καθωραΐζεται: σεμνύνεται. Σ
127 Καθ' οἶμον: καθ' ὁδόν. Σ
128 Καθυβρίζω· αἰτιατικῇ. Synt.
129 Καθ' ὕδατος γράφειν: ἐπὶ τῶν μάτην πονούντων. Suid.
130 Καθυλακτῶ σου. Synt.
131 Καθύπαρ.
132 Καθυπερηκόντισαν: ὑπερεβάλοντο, ἐνίκησαν. Ar.
133 Καθύπερθεν: ὑπεράνωθεν. Σ
134 Καθυπέρτερον: μεῖζον. Σ
135 Καθυπουλεύω· αἰτιατικῇ. Synt.
136 Καθυφεῖντο: ἀντὶ τοῦ ἑαυτοὺς ἐδίδοσαν εἰς ὄλεθρον. πολλοὶ E